# ΕΥΧΑΙ ΤΗΣ ΤΡΑΠΕΖΗΣ

## (Ἄνευ Ἱερέως)

## Εὐχὴ πρὸ τοῦ Μεσημβρινοῦ γεύματος.

**Π**άτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά Σου, ἐλθέτω ἡ Βασιλεία Σου, γενηθήτω τὸ θέλημά Σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

**Δ**όξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**Κύριε, ἐλέησον** γ' (3).

**Δ**ι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

## Μετὰ τὸ Γεῦμα.

**Ε**ὐχαριστοῦμέν Σοι, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὅτι ἐνέπλησας ἡμᾶς τῶν ἐπιγείων Σου ἀγαθῶν. Μὴ στερήσῃς ἡμᾶς καὶ τῆς ἐπουρανίου Σου Βασιλείας, ἀλλ᾽ ὡς ἐν μέσω τῶν Μαθητῶν Σου παρεγένου, Σωτήρ, τὴν εἰρήνην διδοὺς αὐτοῖς, ἐλθὲ καὶ μεθ᾽ ἡμῶν καὶ σῶσον ἡμᾶς.

**Δόξα Πατρὶ... Καὶ νῦν.... Κύριε, ἐλέησον** γ' (3).

**Δ**ι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

## Εὐχὴ πρὸ τοῦ Δείπνου.

**Φ**άγονται πένητες καὶ ἐμπλησθήσονται καὶ αἰνέσουσι Κύριον οἱ ἐκζητοῦντες αὐτόν· ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα αἰῶνος. Ἀμήν.

**Δ**όξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**Κύριε, ἐλέησον** γ' (3).

**Δ**ι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

## Μετὰ τὸν Δεῖπνον.

**Ε**ὔφρανας ἡμᾶς, Κύριε, ἐν τοῖς ποιήμασί Σου, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν Σου ἠγαλλιασάμεθα. Ἐσημειώθη ἐφ᾽ ἡμᾶς τὸ φῶς τοῦ προσώπου Σου, Κύριε. Ἔδωκας εὐφροσύνην εἰς τὰς καρδίας ἡμῶν· ἀπὸ καρποῦ σίτου, οἴνου καὶ ἐλαίου, αὐτῶν ἐνεπλήσθημεν. Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθησόμεθα καὶ ὑπνώσωμεν· ὅτι Σύ, Κύριε, κατὰ μόνας ἐπ᾽ ἐλπίδι κατῴκησας ἡμᾶς. Ἀμήν.

**Δόξα Πατρὶ... Καὶ νῦν.... Κύριε, ἐλέησον** γ' (3).

**Δ**ι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

*Ἐν ἡμέραις νηστείας, ἀντὶ τοῦ* ***Εὔφρανας ἡμᾶς,*** *μετὰ τὸ Δεῖπνον λέγεται τὸ* ***Εὐχαριστοῦμέν Σοι, Χριστὲ...***

## ΕΥΧΑΙ ΤΗΣ ΤΡΑΠΕΖΗΣ (Μετὰ Ἱερέως)

### Εὐχὴ πρὸ τοῦ Μεσημβρινοῦ γεύματος.

**Ἡμεῖς:** Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς... Δόξα Πατρὶ... Καὶ νῦν καὶ ἀεὶ ...Κύριε, ἐλέησον **γ' (3),** ἐν ὀνόματι Κυρίου εὐλόγησον, Πάτερ, τὰ παρατιθέμενα ἐπὶ τῆς τραπέζης ταύτης. **Ὁ Ἱερεύς εὐλογῶν:** Χριστὲ ὁ Θεός, εὐλόγησον τὴν βρῶσιν καὶ τὴν πόσιν τῶν δούλων Σου, ὅτι Ἅγιος εἶ πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Δι᾿ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν... Ἀμήν.

### Μετὰ τὸ Γεῦμα.

**Ἡμεῖς:** Δόξα Πατρὶ... Καὶ νῦν.... Κύριε, ἐλέησον **γ' (3),** ἐν ὀνόματι Κυρίου εὐλόγησον, Πάτερ, τὰ περισσεύματα τῶν κλασμάτων τῆς Τραπέζης ταύτης. **Ὁ Ἱερεύς εὐλογῶν:** Χριστὲ ὁ Θεός, εὐλόγησον τὰ περισσεύματα τῶν κλασμάτων τῆς Τραπέζης ταύτης καὶ πλήθυνον αὐτὰ εἰς τὸν οἶκον τοῦτον (ἢ ἐκκλησίαν ἢ μονὴν ταύτην) καὶ εἰς πᾶν οἶκον εὐσεβῶν καὶ Ὀρθοδόξων Χριστιανῶν καὶ εἰς τὸν κόσμον Σου ἅπαντα εἰς αἰῶνας αἰώνων. Ἀμήν. **Ἡμεῖς:** Εὐχαριστοῦμέν Σοι, Χριστὲ ὁ Θεὸς ἡμῶν... Δόξα Πατρὶ... Καὶ νῦν.... Κύριε, ἐλέησον **γ' (3),** ἐν ὀνόματι Κυρίου εὐλόγησον, Πάτερ. **Ὁ Ἱερεύς:** Εὐλογητὸς ὁ Θεός, ὁ ἐλεῶν καὶ τρέφων ἡμᾶς ἐκ τῶν πλουσίων Αὐτοῦ δωρεῶν τῇ Αὐτοῦ Θείᾳ Χάριτι καὶ φιλανθρωπίᾳ πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοῦς αἰῶνας τῶν αἰώνων. Ἀμήν. **Ἀπόλυσις.** Δόξα Σοι, Χριστὲ ὁ Θεός, ἡ Ἐλπὶς ἡμῶν, δόξα Σοι...

**Εἶτα λέγομεν τὸ τυχὸν τροπάριον, καὶ ὁ Ἱερεύς:** Δι᾿ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

## Εὐχὴ πρὸ τοῦ Δείπνου.

**Ἡμεῖς:** Φάγονται πένητες καὶ ἐμπλησθήσονται καὶ αἰνέσουσι Κύριον οἱ ἐκζητοῦντες αὐτόν· ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα αἰῶνος. Ἀμήν. Δόξα Πατρὶ... Καὶ νῦν καὶ ἀεὶ ...Κύριε, ἐλέησον **γ' (3),** ἐν ὀνόματι Κυρίου εὐλόγησον, Πάτερ, τὰ παρατιθέμενα ἐπὶ τῆς τραπέζης ταύτης. **Ὁ Ἱερεύς εὐλογῶν:** Χριστὲ ὁ Θεός, εὐλόγησον τὴν βρῶσιν καὶ τὴν πόσιν... Δι᾿ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν...Ἀμήν.

## Μετὰ τὸ Δεῖπνον.

**Ἡμεῖς:** Εὔφρανας ἡμᾶς, Κύριε...Δόξα Πατρὶ... Καὶ νῦν.... Κύριε, ἐλέησον **γ' (3),** ἐν ὀνόματι Κυρίου εὐλόγησον, Πάτερ, τὰ περισσεύματα τῶν κλασμάτων τῆς τραπέζης ταύτης. **Ὁ Ἱερεύς εὐλογῶν:** Χριστὲ ὁ Θεός, εὐλόγησον τὰ περισσεύματα... **Ἡμεῖς:** Δόξα Πατρὶ... Καὶ νῦν.... Κύριε, ἐλέησον **γ' (3),** ἐν ὀνόματι Κυρίου εὐλόγησον, Πάτερ. **Ὁ Ἱερεύς:** Μεθ᾿ ἡμῶν ὁ Θεὸς τῇ Αὐτοῦ Θείᾳ Χάριτι καὶ φιλανθρωπίᾳ πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. **Ἀπόλυσις.** Δόξα Σοι, Χριστὲ ὁ Θεός, ἡ Ἐλπὶς ἡμῶν, δόξα Σοι... **Εἶτα ψάλλομεν τὸ τυχὸν τροπάριον, καὶ ὁ Ἱερεύς:** Δι᾿ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν... Ἀμήν.